ἀφελεῖν ἀπὸ τῶν φοβουμένων. τὸ δὲ Φρυνίχου παλαίσμασιν, ἐπεὶ τραγικὸς Φρύνιχος Ἀνταίῳ δράματι, περὶ παλαισμάτων πολλὰ διεξῆλθεν, ὡς προείρηται. ἔθος δὲ ἔχουσιν οἱ κωμικοὶ παρακωμῳδεῖν τοὺς τραγικοὺς, ὅταν πολλάκις καὶ συνεχῶς χρῶνται τοῖς αὐτοῖς. ἄλλως. στρα-

A τηγοῦντος αὐτοῦ ἡττήθησαν Ἀθηναῖοι, καὶ πολλοὶ αὐτῶν προσεκρούσθησαν ὡς προδόντι τὸν πόλεμον. τινὲς δὲ τοῦτον κωμικὸν ποιητὴν λέγουσιν ὃς κινουμένους τοὺς χοροὺς εἰσῆγε καὶ παλαίοντας. ἐγένετο δὲ στρατηγὸς ἐφ' οὗ πολλοὶ ἥμαρτον τῶν τραγικῶν καὶ ἄτιμοι ἐγένοντο.

Εἶτ' ἄτιμον φημὶ χρῆναι μηδέν' εἶν' ἐν τῇ πόλει.
Καὶ γὰρ αἰσχρόν ἐστι τοὺς μὲν ναυμαχήσαντας μίαν
Καὶ Πλαταιᾶς εὐθὺς εἶναι, κἀντὶ δούλων δεσπότας.
Κοὐδὲ ταῦτ' ἔγωγ' ἔχοιμ' ἂν μὴ οὐ καλῶς φάσκειν ἔχειν.
Ἀλλ' ἐπαινῶ. μόνα γὰρ αὐτὰ νοῦν ἔχοντ' ἐδράσατε.
Πρὸς δὲ τούτοις εἰκὸς ὑμᾶς, οἳ μεθ' ὑμῶν πολλὰ δὴ
Χοἱ πατέρες ἐναυμάχησαν, καὶ προσήκουσι γένει,
Τὴν μίαν ταύτην παρεῖναι ξυμφορὰν, αἰτουμένοις.
Ἀλλὰ τῆς ὀργῆς ἀνέντες ὦ σοφώτατοι φύσει,
Πάντας ἀνθρώπους ἑκόντες ξυγγενεῖς κτησώμεθα,
Κἀπιτίμους, καὶ πολίτας, ὅς τις ἂν ξυνναυμαχῇ.
Εἰ δὲ ταῦτ' ὀγκωσόμεσθα, κἀποσεμνυνούμεθα,
Τὴν πόλιν καὶ ταῦτ' ἔχοντες κυμάτων ἐν ἀγκάλαις,
Ὑστέρῳ χρόνῳ ποτ' αὖθις εὖ φρονεῖν οὐ δόξομεν.

*Deinde, neminem, honore qui caret, esse volo in Republica.*
B *Nam turpe est, qui prælio nauali interfuerunt semel,*
*Hos statim Platæenses & pro seruis ceseri heros.*
*Ego certè non possum dicere hoc se habere sat probè.*
*Collaudo tamen: namque hoc solum fecistis prouidè.*
*Præterea æquum est his, qui vnà vobiscum, sæpe, vt & patres*
C *Et genere propinqui, commiserunt nauale prælium,*
*Hanc vnam noxam remittere, & quidem petentibus.*
*Quòd si iram represserimus, viri ô natura prouidi:*
*Multos homines cognatos vltrò iam possidebimus,*
*Et prætores & ciues, quicunque adesse prælio*
D *Nauali voluerint. Sin his spretis nos superbius*
*Efferemus, qui vrbem, & hæc habemus in vlnis fluctuum:*
*Postero tempore rursum benè sapere non videbimur.*

Σχ. Εἶτ' ἄτιμον φημὶ χρῆναι.] ἕως τοῦ κἀντὶ δούλων δεσπότας. ἐπεὶ τοὺς συνναυμαχήσαντας δούλους ἐλευθέρους ἐποίησαν. καὶ Πλαταιᾶς δὲ εἶπεν, ὡς τῶν Πλαταιέων ἀφέντων ἐλευθέρους, τοὺς συνναυμαχήσαντας περὶ Σαλαμῖνα. Καὶ Πλαταιᾶς.] ἀντὶ τοῦ Πλαταιέας. τοὺς συνναυμαχήσαντας δούλους, Ἑλλάνικός φησιν ἐλευθερωθῆναι. καὶ ἐγγραφέντας, ὡς Πλαταιεῖς συμπολιτεύσασθαι αὐτοῖς. Καλλίστρατος δέ φησιν οὐ συναλοιφὴν εἶναι ἀλλὰ διάλεκτον ἰδίαν, σημαίνουσαν τὸ δέον εἶναι. ἢ ὁμοίους γενέσθαι τοῖς ἐν Πλαταιαῖς τὸν Ξέρξου νενικηκόσι πεζόν. Χοἱ πατέρες ἐναυμάχησαν.] ἴσως περὶ τῶν δέκα λέγει στρατηγῶν τῶν περὶ Ἀργινούσας ναυμαχησάντων, τῶν σωθέντων ἐκ τῶν ι. κατεδικάσθησαν γὰρ αὐτοὶ μὴ ἀνελόμενοι τοὺς νεκρούς. οἱ μὲν ἓξ ὑπομείναντες, θανάτῳ ἐκολάσθησαν. οἱ δὲ λοιποὶ δ. ἔφυγον. οὓς Ἀριστοφάνης μετακαλεῖσθαί φησι καὶ ἐπιδί-

κους εἶναι. ἡ δὲ Ἀργινοῦσα κώμη τῆς Αἰολίδος. συμβαλόντες γὰρ ἐνίκησαν Ἀθηναῖοι Λακεδαιμονίους. καὶ νικήσαντες, ἐπανῆλθον. ἐν δὲ τῇ ὁδῷ χειμῶνι περιπεσόντες, πολλοὶ τεθνήκασιν αὐτῶν. καὶ τούτους ἐάσαντες οἱ στρατηγοὶ, E ἐπανῆλθον οἱ ι. καὶ οἱ μὲν ἓξ ἐκολάσθησαν οἱ δὲ, δ. ἔφυγον. ἴσως δὲ καὶ ἐν τῷ εἴ τις ἥμαρτε Φρυνίχου παλαίσμασι. περὶ τῶν τεσσάρων λέγει. οἷς καὶ εἴ τις ἥμαρτε σφαλεὶς, ἀπολογησάσθω κατακληθείς. Εἰ δὲ ταῦτ' ὀγκωσόμεθ'] ἐὰν δὲ ὡς μεγάλα ἁμαρτήματα, μὴ θελήσωμεν ἀνεῖναι τοῖς συμμαχήσασιν ὑπερφρονήσωμεν, ἀλαζονευσώμεθα, μεγαλαυχήσωμεν. Κυμάτων ἐν ἀγκάλαις.] Δίδυμός φησι παρὰ τὸ Αἰσχύλου ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις. θέλει δὲ εἰπεῖν, καὶ ταῦτα ὄντες ἐν πολλοῖς F κινδύνοις. ἐνεστήκει γὰρ ὁ Διονυσιακὸς πόλεμος. Ὑστέρῳ χρόνῳ] ὅτε βλαβησόμεθα τῷ πολέμῳ.

## ΑΝΤΙΣΤΡΟΦΗ.

Εἰ δ' ἐγὼ ὀρθὸς ἰδεῖν βίον ἀνέρος,
Ἢ τρόπον ὅστις ἔτ' οἰμώξεται,
Οὐ πολὺν οὐδ' ὁ πίθηκος οὗτος γ', ὁ
Νῦν ἐνοχλῶν, Κλειγένης ὁ μικρός,

## ANTISTROPHE.

*Quòd si ego vitam hominum & studia hic queo*
*Cernere: qui citò pœnas dabunt:*
*Simius hic mihi balneator,*
G *Durus homo: Cligenes pusillus;*

Σχ. Εἰ δ' ἐγὼ ὀρθῶς ἰδεῖν.] τοῦτο Ἴωνός ἐστιν ἐκ Φοίνικος. ἢ καὶ Οἰνέως. εἰ δ' ἐγὼ ὀρθὸς ἰδεῖν βίον ἀνέρος, πολιῆται. θέλει δὲ εἰπεῖν ὅτι εἰ δύναμαι κρίνειν. οἰμώξεται δὲ, τι-

μωρηθῆναι ὀφείλει. τὸ δὲ οὐ πολὺν, συνάπτε εἰς τὸ χρόνον. Ο μικρός] τῷ σώματι δηλονότι. φαίνεται δὲ ὁ Κλειγένης περὶ τὰ πολιτικά. καὶ τῶν πλουσίων μὲν ὑπῆρχε. ξένος δὲ καὶ βάρβαρος ἐστίν.